δεδιδαγμένοι πόλεμον,
ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ μηρὸν αὐτοῦ
ἀπὸ θάμβους ἐν νυξίν.
9 φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμων
ἀπὸ ξύλων τοῦ Λιβάνου,
10 στύλους αὐτοῦ ἐποίησεν ἀργύριον
καὶ ἀνάκλιτον αὐτοῦ χρύσεον,
ἐπίβασις αὐτοῦ πορφυρᾶ,
ἐντὸς αὐτοῦ λιθόστρωτον,
ἀγάπην ἀπὸ θυγατέρων Ιερουσαλημ.
11 ἐξέλθατε καὶ ἴδετε
ἐν τῷ βασιλεῖ Σαλωμων
ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ
ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ
καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.
4 1 Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή.
ὀφθαλμοί σου περιστεραὶ
ἐκτὸς τῆς σιωπήσεώς σου.
τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν,
αἳ ἀπεκαλύφθησαν ἀπὸ τοῦ Γαλααδ.
2 ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων,
αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ,
αἱ πᾶσαι διδυμεύουσαι,
καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.
3 ὡς σπαρτίον τὸ κόκκινον χείλη σου,
καὶ ἡ λαλιά σου ὡραία.
ὡς λέπυρον τῆς ῥόας μῆλόν σου
ἐκτὸς τῆς σιωπήσεώς σου.
4 ὡς πύργος Δαυιδ τράχηλός σου
ὁ ᾠκοδομημένος εἰς θαλπιωθ·
χίλιοι θυρεοὶ κρέμανται ἐπ᾽ αὐτόν,
πᾶσαι βολίδες τῶν δυνατῶν.
5 δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος
οἱ νεμόμενοι ἐν κρίνοις.
6 ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί,
πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης
καὶ πρὸς τὸν βουνὸν τοῦ Λιβάνου.

8$^{3}$ ρομφαιαν S || 9$^{2}$ ξυλου S† || 10$^{2}$ χρυσιον S || 11$^{1.2}$ (in S unus stichus): sic BS*†; post 11$^{1}$ add. A, post 11$^{2}$ add. S$^{c}$V† θυγατερες σιων
4 1$^{1}$ η > BV†: cf. 2 10 | 1$^{5}$ απο] εκ S*† || 3$^{1}$ το BS†] > rel. | 3$^{3}$ της > BS† || 4$^{2}$ εις] εν S* | θαλφιωθ A | 4$^{4}$ πασαι] + αι S || 6$^{1}$ ου > A | η > S* | 6$^{3}$ τον > B$^{c}$